UNIVERSITY OF CAMBRIDGE

# CLASSICAL TRIPOS Part II
## Group A Literature

Monday 12 June 2006 9 to 12

Paper A2

APOLLO AND DIONYSUS IN GREEK LITERATURE

*Answer* **three** *questions, at least* **one** *from* **Section A** *and at least* **one** *from* **Section B**.

**Candidates who do not write legibly may find themselves at a grave disadvantage.**

**Irrelevance will be penalised.**

STATIONERY REQUIREMENTS
20 Page Booklet x 1
Rough Work Pad x 1

SPECIAL REQUIREMENTS
None

**You may not start to read the questions printed on the subsequent pages of this question paper until instructed that you may do so by the Invigilator**

## SECTION A

1 ὦ ἄνα, καὶ Λυκίην καὶ Μῃονίην ἐρατεινὴν
καὶ Μίλητον ἔχεις ἔναλον πόλιν ἱμερόεσσαν,
αὐτὸς δ' αὖ Δήλοιο περικλύστου μέγ' ἀνάσσεις.
εἶσι δὲ φορμίζων Λητοῦς ἐρικυδέος υἱὸς
φόρμιγγι γλαφυρῇ πρὸς Πυθὼ πετρήεσσαν,
ἄμβροτα εἵματ' ἔχων τεθυωμένα· τοῖο δὲ φόρμιγξ
χρυσέου ὑπὸ πλήκτρου καναχὴν ἔχει ἱμερόεσσαν.
ἔνθεν δὲ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς ὥς τε νόημα
εἶσι Διὸς πρὸς δῶμα θεῶν μεθ' ὁμήγυριν ἄλλων·
αὐτίκα δ' ἀθανάτοισι μέλει κίθαρις καὶ ἀοιδή.
Μοῦσαι μέν θ' ἅμα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ
ὑμνεῦσίν ῥα θεῶν δῶρ' ἄμβροτα ἠδ' ἀνθρώπων
τλημοσύνας, ὅσ' ἔχοντες ὑπ' ἀθανάτοισι θεοῖσι
ζώουσ' ἀφραδέες καὶ ἀμήχανοι, οὐδὲ δύνανται
εὑρέμεναι θανάτοιό τ' ἄκος καὶ γήραος ἄλκαρ·
αὐτὰρ ἐϋπλόκαμοι Χάριτες καὶ ἐΰφρονες Ὧραι
Ἁρμονίη θ' Ἥβη τε Διὸς θυγάτηρ τ' Ἀφροδίτη
ὀρχεῦντ' ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχουσαι·
τῇσι μὲν οὔτ' αἰσχρὴ μεταμέλπεται οὔτ' ἐλάχεια,
ἀλλὰ μάλα μεγάλη τε ἰδεῖν καὶ εἶδος ἀγητὴ
Ἄρτεμις ἰοχέαιρα ὁμότροφος Ἀπόλλωνι.

*Homeric Hymn to Apollo* 179-199

What does this passage tell us about Apollo?

**2**

Χο. Ἴακχ', ὦ Ἴακχε.
Ἴακχ', ὦ Ἴακχε.

Ξα. τοῦτ' ἔστ' ἐκεῖν', ὦ δέσποθ'· οἱ μεμυημένοι
ἐνταῦθά που παίζουσιν, οὓς ἔφραζε νῷν.
ᾄδουσι γοῦν τὸν Ἴακχον ὅνπερ δι' ἀγορᾶς.
Δι. κἀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν ἄγειν
βέλτιστόν ἐστιν, ὡς ἂν εἰδῶμεν σαφῶς.

Χο. Ἴακχ', ὦ πολυτίμητ' ἐν ἕδραις ἐνθάδε
ναίων,
Ἴακχ', ὦ Ἴακχε,
ἐλθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων
ὁσίους εἰς θιασώτας,
πολύκαρπον μὲν τινάσσων
περὶ κρατὶ σῷ βρύοντα
στέφανον μύρτων, θρασεῖ δ' ἐγκατακρούων
ποδὶ τὰν ἀκόλαστον
φιλοπαίγμονα τιμάν,
χαρίτων πλεῖστον ἔχουσαν μέρος, ἁγνήν, ἱερὰν
ὁσίοις μύσταις χορείαν.

Ξα. ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,
ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.
Δι. οὔκουν ἀτρέμ' ἕξεις, ἤν τι καὶ χορδῆς λάβῃς;

Χο. ἔγειρε φλογέας λαμπάδας
+ἐν χερσὶ γὰρ ἥκει τινάσσων+
Ἴακχ', ὦ Ἴακχε,
νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.
φλογὶ φέγγεται δὲ λειμών·
γόνυ πάλλεται γερόντων·
ἀποσείονται δὲ λύπας
χρονίους τ' ἐτῶν παλαιῶν ἐνιαυτοὺς
ἱερᾶς ὑπὸ τιμῆς.
σὺ δὲ λαμπάδι φέγγων
προβάδην ἔξαγ' ἐπ' ἀνθηρὸν ἕλειον δάπεδον
χοροποιόν, μάκαρ, ἥβαν.

ARISTOPHANES *Frogs* 316-52

What does this passage tell us about Dionysus?

[ **TURN OVER**

3 ΑΘΗΝΑ

μὴ φεύγετ'· οὐ γὰρ πολεμίαν με φεύγετε
ἀλλ' ἔν τ' Ἀθήναις κἀνθάδ' οὖσαν εὐμενῆ.
ἐπώνυμος δὲ σῆς ἀφικόμην χθονὸς
Παλλάς, δρόμωι σπεύσασ' Ἀπόλλωνος πάρα,
ὃς ἐς μὲν ὄψιν σφῶιν μολεῖν οὐκ ἠξίου,
μὴ τῶν πάροιθε μέμψις ἐς μέσον μόληι,
ἡμᾶς δὲ πέμπει τοὺς λόγους ὑμῖν φράσαι·
ὡς ἥδε τίκτει σ' ἐξ Ἀπόλλωνος πατρός,
δίδωσι δ' οἷς ἔδωκεν, οὐ φύσασί σε,
ἀλλ' ὡς κομίζηι 'ς οἶκον εὐγενέστατον.
ἐπεὶ δ' ἀνεώιχθη πρᾶγμα μηνυθὲν τόδε,
θανεῖν σε δείσας μητρὸς ἐκ βουλευμάτων
καὶ τήνδε πρὸς σοῦ, μηχαναῖς ἐρρύσατο.
ἔμελλε δ' αὐτὰ διασιωπήσας ἄναξ
ἐν ταῖς Ἀθήναις γνωριεῖν ταύτην τε σοὶ
σέ θ' ὡς πέφυκας τῆσδε καὶ Φοίβου πατρός.
ἀλλ' ὡς περαίνω πρᾶγμα καὶ χρησμοὺς θεοῦ,
ἐφ' οἷσιν ἔζευξ' ἅρματ', εἰσακούσατον.
λαβοῦσα τόνδε παῖδα Κεκροπίαν χθόνα
χώρει, Κρέουσα, κἀς θρόνους τυραννικοὺς
ἵδρυσον. ἐκ γὰρ τῶν Ἐρεχθέως γεγὼς
δίκαιος ἄρχειν τῆς ἐμῆς ὅδε χθονός,
ἔσται δ' ἀν' Ἑλλάδ' εὐκλεής. οἱ τοῦδε γὰρ
παῖδες γενόμενοι τέσσαρες ῥίζης μιᾶς
ἐπώνυμοι γῆς κἀπιφυλίων χθονὸς
λαῶν ἔσονται, σκόπελον οἳ ναίουσ' ἐμόν.

EURIPIDES *Ion* 1553-1578

Does the *Ion* justify the ways of Apollo to men?

**4**

Δι. σὲ τὸν πρόθυμον ὄνθ' ἃ μὴ χρεὼν ὁρᾶν
σπεύδοντά τ' ἀσπούδαστα, Πενθέα λέγω,
ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι,
σκευὴν γυναικὸς μαινάδος βάκχης ἔχων,
μητρός τε τῆς σῆς καὶ λόχου κατάσκοπος·
πρέπεις δὲ Κάδμου θυγατέρων μορφὴν μιᾶι.
Πε. καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
δισσὰς δὲ Θήβας καὶ πόλισμ' ἑπτάστομον·
καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς
καὶ σῶι κέρατα κρατὶ προσπεφυκέναι.
ἀλλ' ἦ ποτ' ἦσθα θήρ; τεταύρωσαι γὰρ οὖν.
Δι. ὁ θεὸς ὁμαρτεῖ, πρόσθεν ὢν οὐκ εὐμενής,
ἔνσπονδος ἡμῖν· νῦν δ' ὁρᾶις ἃ χρή σ' ὁρᾶν.
Πε. τί φαίνομαι δῆτ'; οὐχὶ τὴν Ἰνοῦς στάσιν
ἢ τὴν Ἀγαυῆς ἑστάναι, μητρός γ' ἐμῆς;
Δι. αὐτὰς ἐκείνας εἰσορᾶν δοκῶ σ' ὁρῶν.
ἀλλ' ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ' ὅδε,
οὐχ ὡς ἐγώ νιν ὑπὸ μίτραι καθήρμοσα.
Πε. ἔνδον προσείων αὐτὸν ἀνασείων τ' ἐγὼ
καὶ βακχιάζων ἐξ ἕδρας μεθώρμισα.
Δι. ἀλλ' αὐτὸν ἡμεῖς, οἷς σε θεραπεύειν μέλει,
πάλιν καταστελοῦμεν· ἀλλ' ὄρθου κάρα.
Πε. ἰδού, σὺ κόσμει· σοὶ γὰρ ἀνακείμεσθα δή.

EURIPIDES *Bacchae* 912-934

What is tragic about this passage?

**[ TURN OVER**

**5**

Σι. πῶς οὖν κέκραται; φέρε διασκεψώμεθα.
Κυ. ἀπολεῖς· δὸς οὕτως.
Σι. οὐ μὰ δί', οὐ πρὶν ἄν γέ σε
στέφανον ἴδω λαβόντα γεύσωμαί τ' ἔτι.
Κυ. οἰνοχόος ἄδικος.
Σι. οὐ μὰ δί', ἀλλ' οἶνος γλυκύς.
ἀπομακτέον δέ σοὐστὶν ὡς λήψηι πιεῖν.
Κυ. ἰδού, καθαρὸν τὸ χεῖλος αἱ τρίχες τέ μου.
Σι. θές νυν τὸν ἀγκῶν' εὐρύθμως κᾆιτ' ἔκπιε,
ὥσπερ μ' ὁρᾶις πίνοντα χὤσπερ οὐκ ἐμέ.
Κυ. ἆ ἆ, τί δράσεις;
Σι. ἡδέως ἠμύστισα.
Κυ. λάβ', ὦ ξέν', αὐτὸς οἰνοχόος τέ μοι γενοῦ.
Οδ. γιγνώσκεται γοῦν ἄμπελος τἠμῆι χερί.
Κυ. φέρ' ἔγχεόν νυν.
Οδ. ἐγχέω, σίγα μόνον.
Κυ. χαλεπὸν τόδ' εἶπας, ὅστις ἂν πίνηι πολύν.
Οδ. ἰδού, λαβὼν ἔκπιθι καὶ μηδὲν λίπηις·
συνεκθανεῖν δὲ σπῶντα χρὴ τῶι πώματι.
Κυ. παπαῖ, σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.
Οδ. κἂν μὲν σπάσηις γε δαιτὶ πρὸς πολλῆι πολύν,
τέγξας ἄδιψον νηδύν, εἰς ὕπνον βαλεῖ,
ἢν δ' ἐλλίπηις τι, ξηρανεῖ σ' ὁ Βάκχιος.
Κυ. ἰοὺ ἰού·
ὡς ἐξένευσα μόγις· ἄκρατος ἡ χάρις.
ὁ δ' οὐρανός μοι συμμεμειγμένος δοκεῖ
τῆι γῆι φέρεσθαι, τοῦ Διός τε τὸν θρόνον
λεύσσω τὸ πᾶν τε δαιμόνων ἁγνὸν σέβας.
οὐκ ἂν φιλήσαιμ'; αἱ Χάριτες πειρῶσί με.
ἅλις· Γανυμήδη τόνδ' ἔχων ἀναπαύσομαι
κάλλιον ἢ τὰς Χάριτας. ἥδομαι δέ πως
τοῖς παιδικοῖσι μᾶλλον ἢ τοῖς θήλεσιν.

EURIPIDES *Cyclops* 557-584

What is satyrical about this scene?

**6**

ἦ καὶ πολλὰ πάροιθεν ἐπεὶ κάμεν ἔστιχε νήσους
εἰναλίας· αἱ δ' οὔ μιν ἐπερχομένην ἐδέχοντο,
οὐ λιπαρὸν νήεσσιν Ἐχινάδες ὅρμον ἔχουσαι,
οὐδ' ἥτις Κέρκυρα φιλοξεινωτάτη ἄλλων,
Ἶρις ἐπεὶ πάσῃσιν ἐφ' ὑψηλοῖο Μίμαντος
σπερχομένη μάλα δεινὸν ἀπέτρεπεν· αἱ δ' ὑπ' ὁμοκλῆς
πασσυδίῃ φοβέοντο κατὰ ῥόον ἥντινα τέτμοι.
ὠγυγίην δῆπειτα Κόων Μεροπηΐδα νῆσον
ἵετο, Χαλκιόπης ἱερὸν μυχὸν ἡρωίνης.
ἀλλά ἑ παιδὸς ἔρυκεν ἔπος τόδε· "μὴ σύ γε, μῆτερ,
τῇ με τέκοις. οὔτ' οὖν ἐπιμέμφομαι οὐδὲ μεγαίρω
νῆσον, ἐπεὶ λιπαρή τε καὶ εὔβοτος, εἴ νύ τις ἄλλη·
ἀλλά οἱ ἐκ Μοιρέων τις ὀφειλόμενος θεὸς ἄλλος
ἐστί, Σαωτήρων ὕπατον γένος· ᾧ ὑπὸ μίτρην
ἵξεται οὐκ ἀέκουσα Μακηδόνι κοιρανέεσθαι
ἀμφοτέρη μεσόγεια καὶ αἳ πελάγεσσι κάθηνται,
μέχρις ὅπου περάτη τε καὶ ὁππόθεν ὠκέες ἵπποι
Ἠέλιον φορέουσιν· ὁ δ' εἴσεται ἤθεα πατρός.
καί νύ ποτε ξυνός τις ἐλεύσεται ἄμμιν ἄεθλος
ὕστερον, ὁππόταν οἱ μὲν ἐφ' Ἑλλήνεσσι μάχαιραν
βαρβαρικὴν καὶ Κελτὸν ἀναστήσαντες Ἄρηα
ὀψίγονοι Τιτῆνες ἀφ' ἑσπέρου ἐσχατόωντος
ῥώσωνται νιφάδεσσιν ἐοικότες ἢ ἰσάριθμοι
τείρεσιν, ἡνίκα πλεῖστα κατ' ἠέρα βουκολέονται.

CALLIMACHUS *Hymn to Delos* 153-76

'A mixture of literary virtuosity and embarrassing flattery'. Is this a fair assessment?

[ TURN OVER

## SECTION B

**7** 'Greek literature is not the place to go to learn about Greek religion'. Do you agree?

**8** 'The wisdom of Apollo interprets the ways of gods to men'. Discuss.

**9** Why and in what ways is Dionysus associated with laughter?

**10** Is there anything distinctive about the representation of the divine in Hellenistic poetry?

**11** 'The interactions of Apollo and Dionysus with mortals could never be mistaken for each other'. Do you agree?

**12** In what, if any, ways can the modern opposition of Apollo and Dionysus help our understanding of the ancient world?

**END OF PAPER**